## Esempi di mutamenti radicali nelle condizioni della città(1)

Τῶν ἀγαθῶν καὶ τῶν κακῶν οὐδὲν αὐτὸ καθ' αὑτὸ παραγίγνεται τοῖς ἀνθρώποις, ἀλλὰ συντέτακται καὶ συνακολουθεῖ τοῖς μὲν πλούτοις καὶ ταῖς δυναστείαις ἄνοια καὶ μετὰ ταύτης ἀκολασία, ταῖς δ' ἐνδείαις καὶ ταῖς ταπεινότησι σωφροσύνη καὶ πολλὴ μετριότης, ὥστε χαλεπὸν εἶναι διαγνῶναι, ποτέραν ἄν τις δέξαιτο τῶν μερίδων τούτων τοῖς παισὶ τοῖς αὑτοῦ καταλιπεῖν. ἴδοιμεν γὰρ ἂν ἐκ μὲν τῆς φαυλοτέρας εἶναι δοκούσης ἐπὶ τὸ βέλτιον ὡς ἐπὶ τὸ πολὺ τὰς πράξεις ἐπιδιδούσας, ἐκ δὲ τῆς κρείττονος φαινομένης ἐπὶ τὸ χεῖρον εἰθισμένας μεταπίπτειν. καὶ τούτων ἐνεγκεῖν ἔχω παραδείγματα πλεῖστα μὲν ἐκ τῶν ἰδίων πραγμάτων, πυκνοτάτας γὰρ ταῦτα λαμβάνει τὰς μεταβολάς, οὐ μὴν ἀλλὰ μείζω γε καὶ φανερώτερα τοῖς ἀκούουσιν ἐκ τῶν ἡμῖν καὶ Λακεδαιμονίοις συμβάντων.

*Isocrate*

**Areopagitico, 4-6**

**TRADUZIONE:**

[4]Ne è causa il fatto che nessun bene, e nessun male capita da solo agli uomini, ma le ricchezze e il potere sono accompagnati e seguiti da stoltezza e insieme intemperanza, mentre la indigenza e la bassa estrazione sociale lo sono da saggezza e molta moderazione; [5] così che è difficile decidere quale di queste due parti uno preferirebbe lasciare in eredità ai propri figli. Ci renderemmo infatti conto che quella che sembra valere meno porta per lo più gli affari al successo, mentre quella che appare migliore li fa generalmente peggiorare. [6] E di questo io posso portare moltissimi esempi tratti dalla vita degli individui singoli, perché offre mutamenti assai frequenti: tuttavia sono più importanti e noti per chi ascolta gli esempi tratti dalla storia nostra e da quella dei Lacedemoni.